ἀπεικός ἐστιν οὐδὲ τὴν ἐν τοῖς ζῴοις θερμασίαν οἷον τροφῇ τινι χρῆσθαι τοῖς τοιούτοις φαρμάκοις ὡς τὸ πῦρ τοῖς ξύλοις. οὕτω γὰρ δὴ καὶ φαίνεται γιγνόμενον. εἰ δὲ κατεψυγμένῳ σώματι περιπάττοις ὁτιοῦν αὐτῶν ἀκριβῶς λεπτὸν ἐργασάμενος, οὐδ᾽ ὅλως θερμαίνεται καὶ διὰ τοῦτο τρίβομεν ἐπὶ πλεῖστον τὰ κατεψυγμένα μόρια τοῖς τοιούτοις φαρμάκοις, ἅμα μὲν ἀνάπτοντες τῇ τρίψει θερμασίαν, ἅμα δ᾽ ἀραιὸν ἐργαζόμενοι τὸ τέως ὑπὸ τῆς ψύξεως πεπυκνωμένον, 653 ἵν᾽ εἴσω τε | δύῃ τὸ φάρμακον ὁμιλοῦν τε τῷ συμφύτῳ τοῦ ζῴου θερμῷ μεταβάλληταί τε καὶ θερμαίνηται. καὶ γὰρ εἰ μόριον αὐτοῦ τι σμικρότατον ἐνεργείᾳ κτήσαιτο τὴν θερμασίαν, εἰς ἅπαν οὕτω διαδίδωσι κατὰ τὸ συνεχές, ὡς εἰ καὶ τῆς δᾳδὸς ἅψαις τὸ ἄκρον ἀπὸ σμικροῦ σπινθῆρος· ἅπασαν γὰρ καὶ ταύτην ἐπινέμεται ῥᾳδίως τὸ πῦρ οὐδὲν ἔτι τοῦ σπινθῆρος δεόμενον. ἕκαστον οὖν τῶν δυνάμει θερμῶν οὔπω μὲν ἐν τῇ φύσει πλεονεκτοῦν ἔχει τὸ θερμὸν τοῦ ψυχροῦ, πλησίον δ᾽ ἤδη τοῦ πλεονεκτεῖν ἐστιν, ὥστε βραχείας τῆς ἔξωθεν ἐπικουρίας δεῖσθαι πρὸς τὸ κρατῆσαι, καὶ ταύτην αὐτῷ ποτε μὲν ἡ τρῖψις ἱκανὴ παρασχεῖν ἐστι, ποτὲ δ᾽ ἤτοι τὸ πῦρ ἤ τι τῶν φύσει θερμῶν σωμάτων ἁπτόμενον τούτου.

Οὐδὲν οὖν θαυμαστὸν οὐδὲ διὰ τί τὰ μὲν εὐθὺς ἅμα τῷ ψαῦσαι τοῦ σώματος ἡμῶν ἀντιθερμαίνειν αὐτὸ πέφυκε, τὰ δ᾽ ἐν πλείονι χρόνῳ δρᾷ τοῦτο. καὶ γὰρ καὶ τῶν πλησιαζόντων τῷ πυρὶ τὰ μὲν εὐθὺς ἐξάπτεται, καθάπερ ἡ θρυ-654 αλλὶς καὶ ἡ δᾲς ἡ λεπτὴ ἥ τε πίττα | καὶ ὁ κάλαμος ὁ ξηρός, τὰ δ᾽, εἰ μὴ πολλῷ χρόνῳ πλησιάσειεν, οὐ νικᾶται, καθάπερ τὸ ξύλον τὸ χλωρόν. ἀλλὰ μᾶλλον ἐκεῖνο διελέσθαι δικαιότερον, οὗ τὴν μὲν ἀπόδειξιν ἐν τοῖς Περὶ φυσικῶν

---

8 ἐργαζόμενοι LT ἐργασάμενοι MO ‖ 9 τε (post εἴσω) LT om. M ‖ καὶ ὁμιλοῦν O ‖ θερμῷ τοῦ ζῴου L ‖ 10 τε om. O ‖ 12 μεταδίδωσι LT ‖ κατὰ om. LT add. L² ‖ 13 μικροῦ L ‖ 14 μηδὲν M ‖ 15 οὖν LMT μὲν οὖν O ‖ 17 δ᾽] μὲν LT ‖ 19 παρασχεῖν LMT παρέχειν O ‖ 21 τούτου LT τούτων M om. O ‖ 22 οὐκοῦν οὐδὲ θ. ἐστιν εἰπεῖν οὔτε διότι LT οὐδὲν οὖν θ. οὐδὲ (om. εἰπεῖν) διὰ τί M ‖ 24 δρᾷ LM δρᾶν OT ‖ 26 ἡ λεπτὴ om. T ‖ ἥ τε π. LT καὶ ἡ π. O om. M ‖ 29 τῶν φ. MT